καὶ στήσονται πρὸ προσώπου μου τοῦ προσφέρειν μοι θυσίαν,
16 στέαρ καὶ αἷμα, λέγει κύριος ὁ θεός. [16]οὗτοι εἰσελεύσονται εἰς τὰ
ἅγιά μου, καὶ οὗτοι προσελεύσονται πρὸς τὴν τράπεζάν μου τοῦ
17 λειτουργεῖν μοι καὶ φυλάξουσιν τὰς φυλακάς μου. [17]καὶ ἔσται ἐν
τῷ εἰσπορεύεσθαι αὐτοὺς τὰς πύλας τῆς αὐλῆς τῆς ἐσωτέρας στο-
λὰς λινᾶς ἐνδύσονται καὶ οὐκ ἐνδύσονται ἐρεᾶ ἐν τῷ λειτουργεῖν
18 αὐτοὺς ἀπὸ τῆς πύλης τῆς ἐσωτέρας αὐλῆς· [18]καὶ κιδάρεις λινᾶς
ἕξουσιν ἐπὶ ταῖς κεφαλαῖς αὐτῶν καὶ περισκελῆ λινᾶ ἕξουσιν ἐπὶ
19 τὰς ὀσφύας αὐτῶν καὶ οὐ περιζώσονται βίᾳ. [19]καὶ ἐν τῷ ἐκπο-
ρεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν πρὸς τὸν λαὸν ἐκ-
δύσονται τὰς στολὰς αὐτῶν, ἐν αἷς αὐτοὶ λειτουργοῦσιν ἐν αὐταῖς,
καὶ θήσουσιν αὐτὰς ἐν ταῖς ἐξέδραις τῶν ἁγίων καὶ ἐνδύσονται
στολὰς ἑτέρας καὶ οὐ μὴ ἁγιάσωσιν τὸν λαὸν ἐν ταῖς στολαῖς
20 αὐτῶν. [20]καὶ τὰς κεφαλὰς αὐτῶν οὐ ξυρήσονται καὶ τὰς κόμας
αὐτῶν οὐ ψιλώσουσιν, καλύπτοντες καλύψουσιν τὰς κεφαλὰς αὐ-
21 τῶν. [21]καὶ οἶνον οὐ μὴ πίωσιν πᾶς ἱερεὺς ἐν τῷ εἰσπορεύεσθαι
22 αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. [22]καὶ χήραν καὶ ἐκβεβλημένην
οὐ λήμψονται ἑαυτοῖς εἰς γυναῖκα, ἀλλ' ἢ παρθένον ἐκ τοῦ σπέρ-
23 ματος Ισραηλ· καὶ χήρα ἐὰν γένηται ἐξ ἱερέως, λήμψονται. [23]καὶ
τὸν λαόν μου διδάξουσιν ἀνὰ μέσον ἁγίου καὶ βεβήλου καὶ ἀνὰ
24 μέσον ἀκαθάρτου καὶ καθαροῦ γνωριοῦσιν αὐτοῖς. [24]καὶ ἐπὶ κρίσιν
αἵματος οὗτοι ἐπιστήσονται τοῦ διακρίνειν· τὰ δικαιώματά μου
δικαιώσουσιν καὶ τὰ κρίματά μου κρινοῦσιν καὶ τὰ νόμιμά μου
καὶ τὰ προστάγματά μου ἐν πάσαις ταῖς ἑορταῖς μου φυλάξονται
25 καὶ τὰ σάββατά μου ἁγιάσουσιν. [25]καὶ ἐπὶ ψυχὴν ἀνθρώπου οὐκ
εἰσελεύσονται τοῦ μιανθῆναι, ἀλλ' ἢ ἐπὶ πατρὶ καὶ ἐπὶ μητρὶ καὶ
ἐπὶ υἱῷ καὶ ἐπὶ θυγατρὶ καὶ ἐπὶ ἀδελφῷ καὶ ἐπὶ ἀδελφῇ αὐτοῦ, ἣ
26 οὐ γέγονεν ἀνδρί, μιανθήσεται. [26]καὶ μετὰ τὸ καθαρισθῆναι αὐτὸν
27 ἑπτὰ ἡμέρας ἐξαριθμήσει αὐτῷ· [27]καὶ ᾗ ἂν ἡμέρᾳ εἰσπορεύωνται
εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν τοῦ λειτουργεῖν ἐν τῷ ἁγίῳ, προσοί-
28 σουσιν ἱλασμόν, λέγει κύριος ὁ θεός. [28]καὶ ἔσται αὐτοῖς εἰς κλη-
ρονομίαν· ἐγὼ κληρονομία αὐτοῖς, καὶ κατάσχεσις αὐτοῖς οὐ δοθή-
29 σεται ἐν τοῖς υἱοῖς Ισραηλ, ὅτι ἐγὼ κατάσχεσις αὐτῶν. [29]καὶ τὰς
θυσίας καὶ τὰ ὑπὲρ ἁμαρτίας καὶ τὰ ὑπὲρ ἀγνο.ας οὗτοι φάγονται,
30 καὶ πᾶν ἀφόρισμα ἐν τῷ Ισραηλ αὐτοῖς ἔσται· [30]ἀπαρχαὶ πάντων
καὶ τὰ πρωτότοκα πάντων καὶ τὰ ἀφαιρέματα πάντα ἐκ πάντων

15 μοι ult. > A || 17 και $2^{0}$ > A | ερεα] ἔρια B$^{c}$ | fin.] + και εσω A(in *O* sub ※) || 18 επι ταις κεφαλαις BA†] επι τας -λας rel. | επι τας οσφυας B pau.] επι ταις -υσιν(uel sim.) rel. || 20 ου bis] + μη A: item in 22 | καλυψωσιν B*A$^{(†)}$ || 23 και ανα μεσον καθαρου και (+ ανα μεσον A†) ακαθαρτου BA pau. || 25 επι $3^{0}$ > B* | αδελφω] + αυτου A pau. (sed αδελφη αυτου hab. omn.) || 28 fin. αυτων] -τοις A || 30 init.] pr. και A | παντα] + υμων A$^{(†)}$